# Sermo ob sacerdotum instructionem

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΒΑΣΙΛΕΙΟΥ ΛΟΓΟΣ ΠΕΡΙ ΚΑΤΑΣΤΑΣΕΩΣ ΙΕΡΕΩΝ.

Πρόσεχε σεαυτὸν, ὦ ἱερεῦ, καὶ βλέπε τὴν διακο νίαν, ἣν παρέλαβες, ἵνα ἀναπληρώσῃς αὐτὴν μετὰ φόβου Θεοῦ. Βλέπε λοιπόν· οὐ γὰρ ἐπίγειον διακονίαν ἐνεχειρίσθης ἀλλὰ οὐράνιον, οὐκ ἀνθρωπίνην ἀλλ' ἀγγελικήν· σπούδασον σεαυτὸν παραστῆσαι ἐργάτην 31.1688 ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀλη θείας· πρόσεχε, μὴ στῇς εἰς σύναξιν ἔχων ἔχθραν μετά τινος, ἵνα μὴ φυγαδεύσῃς τὸν Παράκλητον. Ἡμέρᾳ συνάξεως μὴ δικάζου, μηδὲ φιλονείκει τὸ καθόλου· ἀλλὰ κρυπτόμενος εὔχου, ἀναγινώσκων μέχρι ταύτης τῆς ὥρας· καὶ οὕτω παράστα ἐν κα τανύξει τῷ ἁγίῳ θυσιαστηρίῳ· μηδὲ περιβλεπόμενος ὧδε κἀκεῖσε· μὴ ἐν σπουδῇ τὰς εὐχὰς συντέ μνοις· ἀλλὰ παρακαλῶν, μὴ λάμβανε πρόσωπόν τινος, ἀλλ' ὅρα τὸν προκείμενον βασιλέα, καὶ τὰς παρεστώσας δυνάμεις κύκλωθεν· καὶ μὴ ὑποκρίνου, μηδὲ μεταδίδῳς τὸ θεῖον σῶμα ὅπου οὐ χρή. Σεαυτὸν ἄξιον ποίησον τῶν ἱερῶν κανόνων, καὶ συλλειτούργει ὡς οἱ κανόνες ἀπόθενται. Ὅρα οὖν πῶς παρίστασαι τῇ ἁγίᾳ τραπέζῃ, καὶ πῶς ἱερουργεῖς, καὶ τίνος μεταδίδως, καὶ πῶς καταστέλλεις· ὅρα οὖν, μὴ ἐπιλάθῃ τὰς δεσποτικὰς ἐντολὰς καὶ τῶν ἁγίων αὐτοῦ μαθητῶν τὰς παραδόσεις· φησὶ γάρ· «Μὴ δότε τὰ ἅγια τοῖς κυσὶ, μηδὲ ῥίπτετε τοὺς μαργαρίτας μου ἔμπροσθεν τῶν χοίρων.»

Ὅρα οὖν καὶ σὺ, μὴ φόβῳ ὑπαχθῇς ἀνθρωπίνῳ, καὶ παραδώσῃς τὸν Υἱὸν τοῦ Θεοῦ εἰς χεῖρας ἀναξίων· ἀλλὰ μὴ ἐντραπῇς τινα τῶν ἐνδόξων τῆς γῆς, ἀλλὰ μηδὲ αὐτῶν τῶν τὸ διάδημα φορούντων πτοηθῇς ἐν τῇ ὥρᾳ ἐκείνῃ ὅτε ἱερουργήσαις. Βλέπε τοὺς βουλομένους τὰ δῶρα μεταλαμβάνειν ἐν τοῖς οἴκοις· σὺ ὄψει, ὅτι καὶ ὑπὸ γυναικῶν χαρίζονται, ἀλλὰ καὶ ἀναξίων. Ὅρα οὖν, ὡς οἱ θεῖοι κανόνες καὶ αἱ σύνοδοι τῶν ἁγίων Πατέρων ἐπεκύρωσαν· οὕτω πράττε, καὶ μὴ μεταδίδῳς ἀναξίοις ἢ λαϊκοῖς, παρὰ ἐπιστρέψαι αὐτοὺς τῇ ὀρθοδόξῳ πίστει. Οὐαὶ δὲ τοῖς μεταδιδοῦσιν αὐτοῖς! Ὅρα οὖν μὴ μυῖαι ἐμπέσωσι εἰς τὸ ἅγιον ποτήριον, ἢ ἐξ ἀμελείας σου νοτισθῇ, ἢ μοχλιάσῃ, ἢ κονοπισθῇ, ἢ ἐγχειρισθῇ ὑπὸ αἱρετικῶν· ἀλλὰ βλέπε πῶς καταστέλλεις μετὰ τὴν συμπλήρωσιν τῆς θείας λειτουργίας, μὴ σπεύδων μαργαρίτης ἀποπέσῃ, ἢ ἀπομείνῃ ἐν τῷ ποτηρίῳ· ἢ ἔχον νᾶμα τὸ ἅγιον ποτήριον, καὶ κονοπισθῇ· ἀλλὰ ἀμφότερα καταστείλας, πορεύου ἐν εἰρήνῃ. Ταύτην τὴν παράδοσιν ἐὰν φυλάξῃς, ὦ ἱερεῦ, σώσεις σεαυτὸν, καὶ οὓς μέλλεις διδάσκειν· εὐχόμενος καὶ ὑπὲρ ἐμοῦ τοῦ τάλανος πρὸς Κύριον, ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.